11 [11]Καὶ εἶπεν Ναθαν πρὸς Βηρσαβεε μητέρα Σαλωμων λέγων Οὐκ
ἤκουσας ὅτι ἐβασίλευσεν Αδωνιας υἱὸς Αγγιθ; καὶ ὁ κύριος ἡμῶν
12 Δαυιδ οὐκ ἔγνω. [12]καὶ νῦν δεῦρο συμβουλεύσω σοι δὴ συμβου-
λίαν, καὶ ἐξελοῦ τὴν ψυχήν σου καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σα-
13 λωμων· [13]δεῦρο εἴσελθε πρὸς τὸν βασιλέα Δαυιδ καὶ ἐρεῖς πρὸς
αὐτὸν λέγουσα Οὐχὶ σύ, κύριέ μου βασιλεῦ, ὤμοσας τῇ δούλῃ
σου λέγων ὅτι Σαλωμων ὁ υἱός σου βασιλεύσει μετ᾽ ἐμὲ καὶ αὐτὸς
καθιεῖται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν Αδωνιας;
14 [14]καὶ ἰδοὺ ἔτι λαλούσης σου ἐκεῖ μετὰ τοῦ βασιλέως καὶ ἐγὼ εἰσ-
15 ελεύσομαι ὀπίσω σου καὶ πληρώσω τοὺς λόγους σου. — [15]καὶ
εἰσῆλθεν Βηρσαβεε πρὸς τὸν βασιλέα εἰς τὸ ταμίειον, καὶ ὁ βασι-
λεὺς πρεσβύτης σφόδρα, καὶ Αβισακ ἡ Σωμανῖτις ἦν λειτουργοῦσα
16 τῷ βασιλεῖ. [16]καὶ ἔκυψεν Βηρσαβεε καὶ προσεκύνησεν τῷ βασιλεῖ.
17 καὶ εἶπεν ὁ βασιλεύς Τί ἐστίν σοι; [17]ἡ δὲ εἶπεν Κύριέ μου βασιλεῦ,
σὺ ὤμοσας ἐν κυρίῳ τῷ θεῷ σου τῇ δούλῃ σου λέγων ὅτι Σα-
λωμων ὁ υἱός σου βασ.λεύσει μετ᾽ ἐμὲ καὶ αὐτὸς καθήσεται ἐπὶ
18 τοῦ θρόνου μου. [18]καὶ νῦν ἰδοὺ Αδωνιας ἐβασίλευσεν, καὶ σύ,
19 κύριέ μου βασιλεῦ, οὐκ ἔγνως· [19]καὶ ἐθυσίασεν μόσχους καὶ ἄρνας
καὶ πρόβατα εἰς πλῆθος καὶ ἐκάλεσεν πάντας τοὺς υἱοὺς τοῦ βα-
σιλέως καὶ Αβιαθαρ τὸν ἱερέα καὶ Ιωαβ τὸν ἄρχοντα τῆς δυνά-
20 μεως, καὶ τὸν Σαλωμων τὸν δοῦλόν σου οὐκ ἐκάλεσεν. [20]καὶ σύ,
κύριέ μου βασιλεῦ, οἱ ὀφθαλμοὶ παντὸς Ισραηλ πρὸς σὲ ἀπαγγεῖ-
λαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ
21 βασιλέως μετ᾽ αὐτόν. [21]καὶ ἔσται ὡς ἂν κοιμηθῇ ὁ κύριός μου ὁ
βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔσομαι ἐγὼ καὶ ὁ υἱός
22 μου Σαλωμων ἁμαρτωλοί. — [22]καὶ ἰδοὺ ἔτι αὐτῆς λαλούσης μετὰ
23 τοῦ βασιλέως καὶ Ναθαν ὁ προφήτης ἦλθεν. [23]καὶ ἀνηγγέλη τῷ
βασιλεῖ Ἰδοὺ Ναθαν ὁ προφήτης· καὶ εἰσῆλθεν κατὰ πρόσωπον
τοῦ βασιλέως καὶ προσεκύνησεν τῷ βασιλεῖ κατὰ πρόσωπον αὐτοῦ
24 ἐπὶ τὴν γῆν. [24]καὶ εἶπεν Ναθαν Κύριέ μου βασιλεῦ, σὺ εἶπας Αδω-
νιας βασιλεύσει ὀπίσω μου καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου
25 μου· [25]ὅτι κατέβη σήμερον καὶ ἐθυσίασεν μόσχους καὶ ἄρνας καὶ
πρόβατα εἰς πλῆθος καὶ ἐκάλεσεν πάντας τοὺς υἱοὺς τοῦ βασιλέως
καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως καὶ Αβιαθαρ τὸν ἱερέα, καὶ ἰδού
εἰσιν ἐσθίοντες καὶ πίνοντες ἐνώπιον αὐτοῦ καὶ εἶπαν Ζήτω ὁ βα-

11 βηθσαβεε A† (cf. II 11 3), sed in 15. 16 etc. etiam A βηρσαβεε | δαυιδ] pr. ο βασιλευς A† || 13 σαλ./ο υιος σ.] tr. B: item in 17, cf. 21. 33 || 14 λαλουσης σου] tr. A*L* | οπισω σου] σου > B, μετα σε *L*† || 15 σωμανιτις] ου pro ω A: item A in 2 17. 21. 22, non in 1 3; V ubique σουναμιτις | ην mu.] η B†, > *OL* || 17 μου βασ.] > B† (βασ. sub ÷ *O*); μου > *L*† | κυριω > B† | σαλ./ο υιος σου] tr. B | αυτος > B† || 21 ο υιος μ./σαλ.] tr. B: cf. 13 || 23 βασ. $1^{0}$] + λεγοντων *O*: sim. *L* | κατα $1^{0}$] + το A† || 25 εθυσ.] εθυμιασεν A | ιερεα] pr. αρχ A† hic, non in 19 etc.